# ΩΔΗ

## ΤΩι ΕΚΛΑΜΠΡΟΤΑΤΩι,

# ΚΟΜΗΤΙ

# ΓΡΗΓΟΡΙΩι ᾿ΑΛΕΞΑΝΡΙΔΗι

## ΤΩι

# ΠΟΤΕΜΚΙΝΩι,

Ἥν ᾖσε μὲν

ΒΑΣΙΛΕΙΟΣ ΠΕΤΡΟΒ,

Ἐκ δὲ τῆς Ῥωσσικῆς γλώσσης εἰς τὴν Ἑλληνικὴν

μεθήρμοσεν

ΕΥΓΕΝΙΟΣ ΑΡΧΙΕΠΙΣΚΟΠΟΣ

ΣΛΑΒΙΝΙΟΥ ΚΑΙ ΧΕΡΣΩΝΟΣ.

L. N. 842

Ἐν τῷ Τυπογραφείῳ τῆς ἐν Μόσχᾳ ΑΥΤΟΚΡΑΤΟΡΙΚΗΣ

Ἀκαδημίας Ἔτει ΑΨΟΕ΄.

# ὨΔΗ

Ἔγρεο δὴ χρύσεα, ἔγρεο Φόρμιγξ.
Ἀνὶ Φοῖβος τεὸς ὕψι θέει.
Σύμπας δ' ἄρ' ἔγνω κόσμος,
Οἷος αἰὼν αὐτῷ ὄλβιος γέντο.
Λεῦσσ' ὡς βοτρύεσσιν ἀμφέσαντο
Οἶναι! ὡς δὲ πετάλοις
Ἀνέπτυχθεν ἁπαλὰ ῥόδα!
Εὐμενέως ἐπεῖκεν,
Ἐπιῤῥοίας ἤθοντο Φοίβου!
Ὁ δ' ὡς ἀμφιχρυσόων στάχυας μαρμαίρει!
Θάλλει δ', αὖτε πνέει, χλοαρὰ ὕλα!
Παγαὶ δ' ἁγνόταται κελαρύζοντι μορμύροντίτε.
Οὔτι Ἀνθῶ λαίλαπα πτάσσει,
Οὔτ' ἄρ νέφος, οὔτε πλαγὰν χαλάζης.
Φοῖβος ἀγὸς τέρψεως,
Φοῖβος ἀρχὸς ἀγλαΐας,
Φοῖβος ἀτὰρ θνατοῖς εὐποτμίας δομάτωρ.
Τόν δ' ἔπεσι, Φόρμιγξ, ἀείδειν·
Τῷ δ' ἄγ' ἐπικρέξειας ὕμνους.

Ῥήξας

Ρ'ήξας Α'ιώλε αλίσεις,
Νότος ἐξ ὀρφναίων ὁπότε θύσειε κλαίςρων,
Πεποταως δι Α'φρων φέρετ' ἐρήμων,
Μυκάεις, βιατὰς, κῦμ' ορίνων, τραχύστε.
Θινῶν διὰ ψαμμάθε δ' ἄλλοκας τάμνει
Θῖνας θ' ἑξείης σωρέυων,
Ε'νθα πάρος κοιλάδες, οὔρεα αἴρει.
Γίγνεται δ' ἀλεσι τύμβος ψαμμόεις.
Ζεῖ Πόντος, εὖτ' ἐνὶ λέβητι παφλάζον ὕδωρ.
Λαμπρὸς συνεφέεται θνατῶν ὁδοῖο αγήτωρ.
Ε'ν δὲ ζόφος ἴχει,
Ι'ππευτήν τε, πεζόντε, θαλάσσης πλωτῆρατε.
Ὕδασ' ἐπηρτημένε ἀπ' ἔρεος, ἠὒτ' ὀφρύος,
Δρῦν καρτερὰν αγκάσιν ἀμπέχων,
Πόντον καθοράα ἡμιθνὴς Α'φρος,
Εσταχὼς, τρομέων, μήτοι κύμασιν ἐγκύρσοι.
Σὺν δ' ἄρ αὐτᾷ δρυΐ,
Μὴ ῥὰ ἑ πόντος καλύψοι.

✲ ✲ ✲

Κεῖσε αἰνὰν ὄψιν ὀλέθρων ἐςὶ παπταίνειν·
Ναῶν ἁρμοσύνης λυτήρια,
Κύματα δεινὰ κεῖσε,
Συμβαλόντ' ἀντία, νέφες ἐπιβρίθοντος ὑπερῆρται·
Καὶ κατ' δ' ἀρρασσομένες βενὲς,
Παλίμπτωτα παταγεῦσι,
Μέχρι δ' ἐς αἴδε βέρεθρα, διὰ βύθισα χαίνει.
Ναῦς μεσσαγὺς τετέων,
Α'βακίδος δίκην δονέεται·
Ναυτίλλοι Μυρμύκων,
Τοὶ φρεδοι ἑρπόμενοι μεμάασι
Κῆρ' ὑπαλῦξαι.
Οἵτ' ἐπεὶ οὖν πατρώαν λίπον ἀναρσίως ἑςίαν,
Μέγ' ἀποςυγέεσι ῥοπὰν κερδαλέας δυσπλοίας.

Οἷα γὰρ εἰς ὄμβρες τετακὼς χεύεται πόλος·
Βροντάων Ζεὺς δ' ἔκλαγξε,
Δνοφερῶν διὰ νεφέων ἀςράψας.
Ἐκ μυχῶν σκιδνάμενοι ςροφάονται ψαμμάθων σωροὶ·
Πόντια δὲ πέλωρα ζάλην ςοναχεῦσ' ὑποδῦντα.
Κήτεά τ' ἀγινέετ' Ὠκεανȣ̃ βίηφι ἔνθα καὶ ἔνθα.
Καὶ ῥ ὀλιγοδρανέων Λεβιαθὰν νῶτα κινέει.
Ὑπαὶ δ' Ἀετιδέας πτερύγεσι, κατ' καλιᾶς,
Ἀιετὸς ἶφι πιέζει.
Σὺν αὐτοῖς θηράτωρ ἰοῖς τε, φαρέτρατε,
Πρανὴς ἐνὶ βήσσησι πέσεν·
Δειμαλέοι δὲ Λίςτε, Τίγριςτε,
Ἐαῖς ἐνί σπήλυγξι κρῦφθεν.
Δένδρεα καθ' ὕλας τετρήχει·
Νάπεάτε ἄγκεάτε τρομέει·
Ἔυμονος δ' ὡσεὶ σεῦτο ἀήτης,
Ἤέκεν γᾶν κυλινδήσειν πόντονδε,
Ἤέ πόντον ἅμα, αὐτοῖς κήτεσι, γᾶν δ' ἐπιχεύσειν.
Φεῦ φρίκης! Φεῦ κινδύνων! ςοιχείων ἅδε ἀπάλα!

✲ ✲ ✲

Οἷάπερ καταιγίς ἀθέσφατος, τοία δή ϗ ἔρις βροτοῖσιν·
Ἀήτη δ' ὁμοῖος ὁ τὴν δ' ὀρίνων.
Ὅ γὰρ παντᾷ πάντα δονέων ἄγει καὶ φέρει.
Ὑβριςὴς τ' ἐὼν, πολέμιός τ' ἰσότητος,
Φαντασιοκοπέων μαινομέναις φρεσὶ,
Βοςὰν οἱ θέσσαι γηγενέτας θέρος ὀρέει·
Πνέιει δ' ὑπέρογκα θώρακι πίσυνος ἀῤῥήκτῳ.
Κλύδονα δ' ἐγείρει πτανὸς ὑπὸ λύσσης.
Τȣ̃δ' ὁρμὰν ὥςε θραῦσαι, τὸ ῥάτις προβεβλήσεται τεῖχος;
Στέρνον τ' ἀτάρβατον ἔπειτ' Ἀνδροκτασίας,
Ἐν αἰνῇ δηϊοτῆτι·
Τῆμος ἐν ἐξαισίοις πατάγοισι πυροβολέων,

Βροντά μὲν βροντᾶ ἐπιῤῥήγνυται,
Βολὶς δέ βολίδι δεινῷ κελάδῳ ἀντεπαῤῥάσσει.
Διδύμαι γὰρ ἀλλήλαις ἀντεμβάλλετον ζάλαι,
Πτανές σκαπτές ἀφιεῖσαι·
Στοναχεῖ δ᾽ ὀυρανός τε καὶ γαῖα.

✻ ✻ ✻

Ὅς κεν δέ συντελέσειεν, ὄφρ᾽ εἰρήνην ἀνακαλέσῃ,
Ζωοῖς ὅς ἐπιήρατος ἔφυ ἶσα ζεφύρῳ.
Κεῖνος ἄτερ θώρακος νικάτωρ κλείζεται·
Οἱ δ᾽ αὐτὰ εἰρήνα, δαφναῖα σέφεα πλέκει.
Ὀρθωτὴς ἐυταξίας,
Πλείσοις γηθοσυνᾶν ὅς αἴτιος πέλει.
Τόγε μάν μοιρίδιον, ἔτι παῦρον,
Κατὰ δῆριν ἔλαχε κάρτος.
Ὡς γὰρ ἀργαλέον, καὶ ἐπίμοχθον τόδ᾽ ἐξαλέυασθαι·
Πλειϛάκι τ᾽ ἀμποδὼν προσερπύσαντα,
Ἐυθυνόντων παρτρέπει βάματα καὶ Ἀννιβᾶν.
Πῶς ναῦς πουτοπορήσει, τῆς συνέϛαλθ᾽ ἱϛία;
Πῶς δ᾽ Ἀιετός πτάσεται, τȣ͂ πτέρυγες δέντο;
Μάχεος τί δ᾽ ὄνειαρ ἁρμογαῖσιν ἐῦτύκτȣ,
Τȣ͂περ ἰς ἐλάτειρα Φρένη,
Μοιρᾶν ὕπο ἐύδει δακτύλοις;

✻ ✻ ✻

Ὡς Ἀιετῷ πτέρυγας Σύ ΠΟΤΈΜΚΙΝ ἀνῆκας,
Μοιρᾶν δὲ δέδμακας βίαν,
Μυρίων ὅσων ἔρον κραδιᾶν ἔλες.
Σέ γὰρ πέρι δικαίοις, οἷς εἶναι μέλον,
Σάφα μάλ᾽ ἔγνων,
Πόῤῥω ὡς βασκανίας, γνήσιος Ἥρως ἔφυ.
Ἀυτὸς δ᾽ ὑπὸ γάθεος αἴρεται, εὖ πράττοντος φίλȣ.
Ὅ γὰρ θαμὰ σπεύσας πολεμίων ξίφεα ῥῆξαι,
Ταυτὰ πειρωμένοις, μάθεν ἐπιτάῤῥοθος ἔμμεν.
Ἧπȣ ὀρθοβόλȣ μήτιος μεγάλα ῥοπὰ!
Τί δ᾽ ἄνευ Ἀελίȣ κόσμῳ μέγεθος ἐϛι; Σύ

Σὺ δ' ἄρ διὰ σέλαος, το Σοὶ ἐρανόσδοτον χεῦται,
Αφαρ ἀχλὺν πολέμοιο διέχες,
Ἀςεροπὰ ὥσπερ ὀμίχλαν.
Καὶ μὰν, ἐδ' ἀγαπάων κρότοισιν
Οἷς Πόλις εἰρηναία Σε κυδροῖ,
Στρατιωτικᾶν ἔγκυον μεριμνᾶν,
Νόον ἀσπερχὲς περιάγεις,
Τεύχεα δὲ μέμηλας, ξίφεάτε, κόρυθάστε ἐτάζειν·
Κ' εἰ ζαμενὴς ἱππότας, κ' εἰ γεννάδας ὀπλαισίκροτος ἵππος,
Ὅν κεῖνος ἐποχοῖτο, ἀγλαοῖς φαλάροισι γαῦρον.
Τὼς κυβερνατὴρ ναὸς, ἐδαμᾶ θυμὸν ὑπανῆκε,
Μενοινᾶ δὲ πρὸ ζάλης τ' ἀσφαλέα,
Καὶ εἰρήνης παρεύσης.
Μέγ' ἁ πολυωρία δύνασιν κράτεος ὀφέλλει.
Βίαιοι δέτοι χεῖρες σοφίαν τρομέοισι.
Σύ δῆτα χρυσέας πᾶσαν ῥοπὰν εὐκαιρίας
Τεοῖς πολίταις χρησίμαν ἐργάζεο.
Καιρὸς, ΠΟΤΕΜΚΙΝ, ὁ πρὸς τὸ εὖ ποιέειν,
Δῶρον ἐς ἀςαθμήτοιο ὑπέρτιμον τύχας.

⁂ ⁂ ⁂

Αἰθέρος ἀψὶς ἡνίκα κυανέα μαρμαίρει,
Τὰν δ' ἀνὰ διέταχθεν φαειναὶ χορεῖαι τειρέων,
Δένδρε' ἀποτραχύνει δ' ἀποςίλβουσα αἰγλήεσσα πάχνα,
Πλασιφαὴς δὲ φαίνει Σελάνα,
Ἦμος καὶ τηλεβόλοιο βόμβος εὐρὺ ἐξαχέει,
Καπνὸς δ' ὡσεὶ νέφος ὕψι θρώσκων δινεῦται,
Παντᾶ χιὼν δ' ὁδοῖσι κατεσόρεσε νῶτα,
Τῆμος ὡς εὐεπίβατος πρόκειθ' ἁ πορία ὁδίτᾳ.
Ἔμπας ἀλλ' εἰ τόνδε πρόοιτο χρόνον,
Μαλακῷ δαμεὶς ὕπνῳ,
Βαρεῖαν ῥαςώνης ποινὰν ὑφέξει.
Θαμὰ γὰρ δεινὰν θύελλαν ἐξαπιναῖος λαῖλαψ ἔπορσας,

Πυκναῖς μὲν ἐ βάλε χιόνων νιφάσι,
Ταῖς δ' ἐξ αὐτῶν σωρείαις, ἀτραπὸν οἱ ἀπ' ὀφθαλμῶν ἦρε.
Τινάλλως ὁ δὲ τρίβωνα πονεῖ περισέλλων,
Οὐδὲ οἱ πρόσω ἵππος χωρέει, ὃν περιέβα.

✻ ✻ ✻

Οὐκ ἀκαραδόκατον ὑφ' ἡλίῳ δυσκρασία ἀέρος.
Κατακλᾷ δὲ τύφον, τὸ τύχης ἀσάθμητον.
Ἃ δ' ἑτέροις προμνασευομένα εὐαμερία,
Μόνα τὸν μνασεύοντα εὐφραίνει.
Ἔκγον' Ἡρώων, τὰν περὶ τὰν φάλαγγ' ἀπόθε τύρβαν.
Μέσφα δὲ φρεσί σῇσι μενοινάαν
Τέμενος ἀμβαλοῦ λόγων, τὸ Σύ δομέεις.
Ἔνθ' ἦχον τεῶν ὕμνων παρέσαι κλύειν,
Πάρ ταῖς ἐκεῖ κράναις, ἔντ' ἐερσιπνόοισι σκιαῖσι.
Τᾶς δ' εἰλικρινεσέρα, τὶς ποτ' ἄλλα Σοι γένοιτο τέρψις;
Πίνδος τε Παρνασσόστε κεῖσε,
Θετταλικῶντε νάματα ῥόων.
Κεῖ δ' ὀαρισύες, Ρώμαῖος τε καὶ Ἕλλην,
Ἅμα μυθεῦνται.
Ἀείδεσαι δὲ Μοῖσαι λίγειον,
Καλὰν ὄπα, θέλγητρον νόε, ἰεῖσι.
Σὺ δ' ἐν αὐταῖς ἔοις Ἀπόλλων.

✻ ✻ ✻

Σπεῦδ' ἧπερ ἔρδεις ΠΟΤΕΜΚΙΝΕ, κλέος τεὸν δομέων.
Ὄφρα δὲ Σέο σέλας μαρμαρυγῶν, ἀβάσκαντον ἔοι,
Τρέψον τόδ' ἔνθ' ὁράας σκιὰν ἀνίας.
Μήδ' ἅλις ἐὸν Σοι, εἰ μηδένα ποτ' ἀδικοίης,
Ὡς οἷοντε πλεόνεσσιν εὐαμερίας αἴτιος γίγνε.
Ἕν δ' ἕκασον κρῖνον, ὅ Σοι τημεληθὲν ποτιαύξοι,
Σοῖς ὑπ' ὀφθαλμοῖς εἴη ὡραῖος παράδεισος.
Ὡς ἀγαθοπαρόχων Παῖς ἀκέσεαι Οὐρανιώνων.
Ὅς τις ποτ' ἄρ καὶ πέλοι τῶν ἐν λογάσιν,
Οὔτι τόνδε Σοι χαίρω ἐπιγράφειν πρόγονον.
Αὐτὸς σαυτὸν φήναις μεγαλώνυμον, Πολλῶς

Πολλὼς εὐαμέρως ἀποφήνας.
Τόγ' ἐπ' ἐμοὶ λαθέτω, Σοῦ γένες ἀρχὰ,
Οἷα ῥὰ καὶ πρώταται Νειλῶαι παγαί.
Εἰ μόνον, ὡς καὶ Νεῖλος, ἀφθόνως πλημμύρων,
Ἔκτ' ἀρέρας πιαίνοις, καὶ φερέσβιος εἴης τῇ φύσει,
Κοινῇ εὐποιίας προσδαψιλευόμενος ῥέεθρα.

Υἱὸς ἡδονῆςτε τρυφῆς τε εἴτις ἔοι,
Κἂν ἀξιώμασίπερ λαμπροῖς γανόων,
Οὐδὲν μοι ἢ βρέτας, χρυσῷ περισκεπὲς, ὅτοςγε.
Οὐ Σύγ' ἀξιωμάτων, ὀδὲ τιμῶν ἔρασαι τοίων.
Ὑπέρτερα τέτων φρονέεις·
Φυὴ δέ Σοι θωπείας κρείσσων.
Ἀλλὰ καὶ τεὸν ςόμα,
Ἱερῶν πέλει ὄργανον τεθμίων.
Καὶ δυνάςαις ξύναυλος ἐν Ἀνακτόροις,
Οὗ θολερῶν ὄχλος ψυχῶν θαμίζει,
Οὐδὲ, ἀγνὰ Σὰ ἤθεα σώζεις.
Οὕτω ῥὰ διὰ κοίλων καὶ Ῥωδανός διαῤῥέων,
Οὐδ' ἠβαιόν ναμάτων ἀμέιβει χρόαν.
Ὅμοιος ΠΟΤΕΜΚΙΝΕ Σὺ Σαυτῷ αἰέν ἔοις.

